Peculiar to St. Luke. Dioscorides uses the word in the same way of plants putting forth flowers or emitting smell. Dioscor. Mat. Med. ii. 205: θέρους δὲ γαλακτινὸν ἄνθος προβάλλει. Dioscor. Mat. Med. iv. 50: προβάλλει δὲ κατὰ τὸ φθινόπωρον τὰ φύλλα τράγου ὀσμήν. Dioscor. Animal. Ven. 1: φλέγμα πολὺ ἀφρῶδες ἐκ τοῦ στόματος καὶ τῶν ῥινῶν προβάλλει. Hipp. Morb. 481: σικύην προβάλλειν καὶ τὰς φλέβας ἀποτύψαι. Hipp. Vet. Med. 17: αἱ σικύαι προβαλλόμεναι. Hipp. Artic. 785: παχεῖα μὲν ἡ προβολὴ τοῦ χείλεος. Aretaeus, Sign. Acut. Morb. 11: ἢν δὲ τὸ ἐμπύημα ἐς τὸ

μεσηγὺ τῶν πλευρέων ῥέψῃ καὶ διαστήσῃ τάσδε καὶ κορυφὴν ἐς τὸ ἔξω προβάληται τὰ πολλὰ περιγίγνεται ἄνθρωπος. Galen. Comm. vii. 59, Aph. (xviii. A. 174): προβληθείσης δὲ τῇ κάτω γένυι τῆς γλώττης. Galen. Diff. Febr. ii. 7 (vii. 352): εἶτα καὶ τἄλλα πάντα μέχρι τῆς ἀκμῆς τοῦ τριταίου πυρετοῦ γνωρίσματα προβάλλοντα. Galen. Loc. Affect. iii. 5 (viii. 156): ἀλλ' οὐδὲ τῶν ὅλου τοῦ σώματος σπασμῶν ἢ παλμῶν ἢ τῆς ἐξ ἡμίσεος αὐτοῦ μέρους παραλύσεως, ἡ οἷον ῥίζα προβάλλει τι σημεῖον.

* *συμβάλλειν.* Luke, ii. 19: "But Mary kept all these things, and *pondered* them (*συμβάλλουσα*) in her heart."

Peculiar to St. Luke, and occurs again in ch. xiv. 31; Acts, iv. 15; xvii. 18; xviii. 27; xx. 14. Hipp. Morb. Sacr. 305: καὶ ὅσον πνεύματος ἐς μὲν τὴν κοιλίην διαψύχει καὶ ἄλλο τι οὐδὲν ξυμβάλλεται. ὁ δὲ ἐς τὰς φλέβας ἀὴρ ξυμβάλλεται. Hipp. Loc. in Hom. 409: αἱ μὲν γὰρ φλέβες σφίσιν ἐωϋταῖς ξυμβάλλουσιν. Hipp. Artic. 797: δεῖ δὲ ἑπόμενον τούτοισι συμβάλλειν τὰς γνάθους καὶ μὴ χάσκειν. Hipp. Moch. 845: ἅμα δὲ τῷ ξυμβαλεῖν ἢ θείῳ ξὺν κηρωτῇ αὐτίκα ἀναπλάσσειν. Hipp. Vuln. Cap. 897: συμβολή τε γὰρ τῆς κάτω γνάθου πρὸς τὸ κρανίον. Aretaeus, Sign. Acut. Morb. 3: οὐ ξυμβάλλουσι τὰ βλέφαρα. Galen. Comm. i. 51, Artic. (xviii. A. 386): καθ' ἣν οἱ δύο μύες συμβάλλουσιν. Galen. Comm. ii. 2, Artic. (xviii. A. 426): καθ' ὃ δὲ συμβάλλει ταῦτα ἀλλήλοις γίγνεσθαι συνάρθρωσιν ὁμοίαν ῥαφῇ. Galen. Medicus, 12 (xiv. 722): αἱ δὲ λοιπαὶ πέντε τῇ μὲν ῥάχει συμβάλλουσιν. Galen. Comp. Med. v. 3 (xiii. 792): ἐγχωρεῖ δὲ καὶ ιβ' συμβάλλειν εἰ μὲν ἐπὶ πλέον ἐψηθείη τὸ φάρμακον.

* *ὑποβάλλειν.* Acts, vi. 11: "Then they *suborned* (*ὑπέβαλον*) men, which said," &c.

Peculiar to St. Luke. Hipp. Aphoron. 682: ῥάκος ὑποβαλλομένη ὑπὸ τὰ ἰσχία καὶ τὴν νύκτα προσκείσθω. Hipp. Fract. 773: ἔπειτα τουτέοισι χρὴ ἅμα τῇ καταστάσει μοχλεύειν ὑποβάλλοντα, πρὸς μὲν τὸ κατώτερον τοῦ ὀστέου ἐρείδοντα. Hipp. Artic. 780: ἔστι δὲ ἐμβολὴ ὤμου καὶ εἰς τοὐπίσω ὑποβάλλοντα τὸν πῆχυν ἐπὶ τὴν ῥάχιν. Hipp.

Haemorr. 892 : ἔπειτα ὑποβαλὼν τῷ δακτύλῳ τῷ λιχανῷ τῆς ἀριστερῆς χειρὸς, μέσον τὸν σπύγγον ὦσαι, &c. Hipp. Superfoet. 260 : ὑποβάλλων τὸν δάκτυλον ὑπὸ τὸ γένειον διαβύσας ἐς τὸ στόμα ἔξω ἕλκειν. Galen. Comm. iii. 19, Artic. (xviii. A. 539) : ἔπειτα βαίνουσι πρὸς ὀλίγας τῶν πλευρῶν οἱ ὑποβεβλημένοι τῷ στομάχῳ μύες. Galen. Comm. i. 7, Progn. (xviii. B. 30): ὅτι σαρκοειδὴς οὐσία λεπτὴ κατὰ τοῦτο τὸ μέρος ὑποβέβληται τῷ δέρματι. Galen. Comm. i. 51, Fract. (xviii. B. 411) : τὴν ὑποβεβλημένην τῷ πήχει ταινίαν. Galen. Anat. Muscul. (xviii. B. 992) : οἱ δύο μύες, οὓς ὑποβεβλῆσθαι τῷ στομάχῳ. Galen. Anatom. i. 5 (ii. 252) : αὕτη μὲν ἐγχείρησις ἔστω σοι περὶ τοὺς ὑποβεβλημένους τῷ συνδέσμῳ τένοντας.

* ἀναβολή. Acts, xxv. 17 : " Therefore, when they were come hither, *without any delay* (ἀναβολὴν μηδεμίαν ποιησάμενος) on the morrow I sat on the judgment-seat," &c.

Peculiar to St. Luke. Used in medical language of delay in treating disease, &c.

Hipp. Epid. 1278 : τέχνης μὲν γὰρ πάσης ἀλλότριον ἀναβολὴ, ἰητρικῆς δὲ καὶ πάνυ, ἐν ᾗ ψυχῆς κίνδυνος ἡ ὑπέρθεσις. Aretaeus. Cur. Acut. Morb. 95 : χρὴ δὲ μηδὲ ἐς τὰ ἄλλα τὰ μεγάλα ἄκεα μέλλειν, οὐ γὰρ καιρὸς ἀμβολῆς. Aret. Cur. Acut. Morb. 100: οὐκ ἀμβολῆς καιρὸς ἐν πλευριτικοῖσι. Aret. Cur. Acut. Morb. 117 : ἐς βαιὸν χρόνον ἔμ τοῦ πόνου ἀμβολή. Aret. Cur. Acut. Morb. 122: ἢν δ' ἐξ αἱμορῥαγίης ὁ κίνδυνος, ἴσχειν μὲν οὐκ εἰς ἀμβολὴν τῶνδε μᾶλλον. Aret. Cur. Morb. Diuturn. 127 : ἐν τῇσι χρονίῃσι νούσοισι ἡ ἀμβολὴ τῆς ἰητρείης κακόν. Aret. Caus. Acut. Morb. 13 : οὐκ εἰς μακρὰν τοῦ θανάτου ἡ ἀμβολή. Dioscorides, Animal. Ven. Proem. : ὀλίγα μὲν γὰρ καὶ τῶν ἰοβόλων καὶ τῶν θανασίμων σχολαίους καὶ ἐξ ἀναβολῆς φέρει τοὺς κινδύνους. Do. : ὁ μὲν γὰρ ὀξέως καὶ παραχρῆμα καὶ τὰς ὀχλήσεις καὶ τοὺς κινδύνους ἐπιφέρει, ὁ δὲ ἐξ ἀναβολῆς καὶ χρόνου πλείονος ἢ ἐλάττονος. Galen. Med. Parab. i. Proem. (xiv. 312) : οὔτε μὴν τὰς περιστάσεις παρεῖναι τὰς ὑποπροσθέσεως καὶ ἀναβολῆς καιροὺς διδούσας οἷον ἐπὶ συνάγχης.

* *ἐκβολή*. Acts, xxvii. 18: "And we being exceedingly tossed with a tempest, the next day *they lightened* (*ἐκβολὴν ἐποιοῦντο*) the ship."

Peculiar to St. Luke, and is the medical term applied to the ejection of the foetus by abortion or miscarriage (*ἐκβόλιον*, the drug producing this effect)—to casting of the teeth, &c.

Hipp. Morb. Mul. 627: *ἕτερον ποτὸν ἐκβολῆς ὁ τὸ παιδίον ἐκβάλλει πέλιδνον.* Hipp. Epid. 1200: *ὀδόντων ἐκβολαί.* Hipp. Nat. Mul. 584: *ἐκβόλιον ἐμβρύου καὶ μητρίων.* Hipp. Morb. Mul. 624: *ἐκβόλιον ὑστέρων.* Hipp. Morb. Mul. 625: *ἕτερον ἐκβόλιον.* Hipp. Morb. Mul. 626: *ἄλλο πρόσθετον ἐκβόλιον.* Dioscorides, Mat. Med. i. 128: *ὑποθυμιᾶται δὲ καὶ πρὸς δευτέρων ἐκβολάς.* Dioscor. Mat. Med. iii. 125: *καὶ τὰ φύλλα ποτίζεται πρὸς δευτέρων ἐκβολήν.* Dioscor. Mat. Med. iii. 126: *καὶ πίνεται σὺν οἴνῳ τὸ ἄνθος καὶ τὰ φύλλα πρὸς ἐμβρύων ἐκβολήν.* Dioscor. Mat. Med. iii. 157: *ποτίζεται δὲ ἐν γλευκεῖ πρὸς ἄσθμα καὶ ἐκβολὴν χορίου καὶ ἐμβρύου.*

* *βολή*. Luke, xxii. 41: "And he was withdrawn from them about a *stone's cast* (*ὡσεὶ λίθου βολήν*), and kneeling down, and prayed."

Peculiar to St. Luke, and used in medical language of the impulse in swallowing that carries the food to the stomach—of throwing a bandage round a limb, &c.

Galen. Nat. Facul. iii. 8 (ii. 176): *οὔθ' ὡς ἡ σκολιὰ θέσις στομάχου διαβάλλει σαφῶς τὸ δόγμα τῶν νομιζόντων, ὑπὸ τῆς ἄνωθεν βολῆς, ποδηγούμενα μέχρι τῆς γαστρὸς ἰέναι τὰ καταπινόμενα—ὅτι γὰρ μὴ διὰ μόνης τῆς ἄνωθεν βολῆς ἐκ τούτου δῆλον.* Galen. Comm. ii. 2, Offic. (xviii. B. 725): *πρύσκειται μὲν δευτέραν οὖν βολὴν τοῦ ἐπιδέσμου*—Galen. Usus. Part. i. 24 (ii. 85): *ὅτι πανταχόθεν ἰσορρόπως αἱ κορυφαὶ τῶν δακτύλων ἀντιτεταγμέναι τήν τε λαβὴν αὐτῶν ἀσφαλεστέραν καὶ τὴν βολὴν ἰσχυροτέραν ἀπεργάζονται.*—Galen. Hipp. et Plat. Decret. vii. 7 (v. 642): *ὑπὸ τοῦ πνεύματος εἰς αὐτὸν ἐκ τῆς βολῆς ἐναποτελουμένην.*—Galen. Loc. Affect. v. 3 (viii. 316): *βούλεται γὰρ εἰς τὴν ἀρτηρίην ταύτην ἐνθλιβόμενον ὑπὸ τῆς*

καρδίας τὸ πνεῦμα διασῶζον τῆς βολῆς τὴν ῥύμην, εἰς ὅλον φέρεσθαι τὸ σῶμα. Galen. Meth. Med. xiii. 22 (x. 935) : εἰ δ' ὑγρὸν εἴη τὸ προσφερόμενον ἐξ ὑψηλοτέρου βάλλοντα καὶ οἷον κατακρουνίζοντα διϊκνεῖται γὰρ εἴσω μᾶλλον ὑπὸ τῆς βολῆς ὠθούμενον. ὥσπερ δ' ἐνταῦθα τὸ σφοδρότερον τῆς βολῆς συμφέρον ἐστίν—τῆς δὲ διὰ τὴν βολὴν ἀφικνουμένης εἰς αὐτὸ δυνάμεως ἀπολαύσει. And of throwing a ball. Galen. Parv. Pil. Exerc. 4 (v. 908) : ὀλιγάκις τε προχρῆσθαι τῇ βολῇ, τὰ κάτω μᾶλλον διαπονεῖ.

16. "And he spake a parable unto them, saying, The ground of a certain rich man *brought forth plentifully*" (εὐφόρησεν).

The verb *εὐφορεῖν seems to be used in this sense by St. Luke, Hippocrates, and Galen only. In other writers, as Lucian, it is applied to a ship—"to carry a good burden." εὐφορίη, εὔφορος, ἄφορος, and φορός are all medical terms. εὔφορος is used of a woman, "fruitful," as opposed to ἄφορος, and is even applied to a country or climate productive of disease.

Hipp. Epis. 1274 : σχεδὸν οὖν οὐδέποτε γονιμώτερον εὐφορήσουσιν οὔτε γῇ οὔτε ὀρῶν ἀκρώρειαι. Galen. Temperament. i. 6 (i. 547) : κατὰ ταὐτὰ δὲ καὶ τῆς ἀμπέλου τὸ πλείστας τε καὶ καλλίστας εὐφορεῖν σταφυλάς. Hipp. Morb. Acut. 400 : ἐνῇ δὲ τοῦ πνεύματος εὐφορίη. Hipp. Aphoron. 676 : ἐν τάχει δὲ μελεδανθεῖσα εὔφορος γίνεται ἡ γυνή—καὶ ἢν μὲν ἐν ἀρχῇ μελεδαίνηται ὑγιαίνει καὶ φορὸς γίνεται, ἢν δὲ χρόνος ἐγγένηται ἄφορος μένει ἡ γυνή. Galen. Aliment. Facul. ii. 38 (vi. 620) : εὐφορίας δὲ γενομένης τῶν τε βαλάνων καὶ τῶν μεσπίλων. Galen. De Crisibus, ii. 3 (ix. 648) : ἆρ' οὖν ὥρα μὲν ἡ θερμὴ καὶ ξηρὰ τριταίων πυρετῶν εὔφορος, ἡ χώρα δ' οὐχ ὁμοίως ἡ θερμὴ καὶ ξηρὰ τῆς ὑγρᾶς καὶ ψυχρᾶς εὐφορωτέρα. Hipp. Morb. Mul. 565 : ἐκ ταύτης τῆς νόσου ἄφοροι γίνονται. Hipp. Morb. Mul. 590 : ἢν τοῦτο γένηται, οὐ περιγίνεται ἡ γυνὴ, ἢν δὲ καὶ περιγένηται, ἀεὶ ἄφορος ἔσται. Galen. De Crisibus, ii. 4 (ix. 659) : εἰ καὶ τὸ χωρίον αὐτὸ τοιούτων πυρετῶν εὔφορον ᾖ. Galen. De Crisibus, ii. 5 (ix. 661) : καὶ ὁ χειμὼν εὔφορος τοιούτων νοσημάτων.

* *τελεσφορεῖν.* Luke, viii. 14. *See* § 41.

29. "And seek not ye what ye shall eat, or what ye shall drink, neither *be ye of doubtful mind*" (*μετεωρίζεσθε*).

* *μετεωρίζεσθαι* is peculiar to St. Luke, and of frequent recurrence in the medical writers in various significations.

Hipp. Coac. Progn. 220: *ὅσα κοιλίης καθυγραινομένης οἰδήματα μετεωρίζεται μετὰ ἀλγημάτων κακόν.* Hipp. Oss. Nat. 276: *ὅθεν ἡ ἡπατίτις ἐμετεωρίσθη.* Hipp. Morb. 462: *ὅταν ἐς τὰς φλέβας χολὴ ἢ φλέγμα ἐσέλθῃ μετεωρίζονται γὰρ αἱ φλέβες καὶ σφύζουσι.* Hipp. Artic. 782: *ὅτι ἀσφαλεστέρως ἂν τὸ σῶμα τὸ μὲν τῇ, τὸ δὲ τῇ ἀντισηκωθείη μετεωρισθέν* Hipp. Epid. 1136: *ὁ ἀπὸ τῶν φύσεων μετεωριζόμενος ἐπῆρτο καὶ ὑπήλγει κενεῶνι.* Hipp. Epid. 1153: *ὁ δὲ μηρὸς ὅλος ἐμετεωρίζετο καὶ διέτεινεν ὁ μετεωρισμὸς ἔς τε τὸν βουβῶνα καὶ τὸν κενεῶνα.* Aretaeus, Sign. Acut. Morb. 23: *γνώμη οὐ κάρτα παράφορος, νωθρὴ, μετέωρος.* Dioscorides, Mat. Med. ii. 137: *ῥαφανὶς προεσθιομένη δὲ μετεωρίζει τὴν τροφήν.* Galen. Comm. ii. 4, Epid. iii. (xvii. A. 598): *ἐγχωρεῖ δὲ καὶ διὰ τὸ μετεωρίζειν ἑαυτοὺς ἐθέλειν οὕτως εἰρῆσθαι ταὐτὸν σημαίνοντος τοῦ μετεώρου πνεύματος τῇ κατὰ τὸ προγνωστικὸν ὀρθοπνοίᾳ.* Galen. Comm. ii. 9, Epid. vi. (xvii. A. 917): *τοὺς μὲν γὰρ αἰρομένους ἄνω χυμοὺς, τουτέστι μετεωριζομένους.*

§ LXIX.

Luke, XIII.

* *ἀποκλείειν.* * *κατακλείειν.*

παραχρῆμα (verse 13, § 57). * *ἴασις* (v. 32, § 17). *ἀποτελεῖν* (v. 32, § 17). * *ἐνδέχεσθαι* (v. 33, § 73).

25. "When once the master of the house is risen up, and *hath shut to* (*ἀποκλείσῃ*) the door."

* *ἀποκλείειν* and * *κατακλείειν* are peculiar to St. Luke, and both were much used in medical language.

Hipp. Morb. Sacr. 305: *ἄφωνος μέν ἐστιν ὁκόταν ἐξαίφνης τὸ φλέγμα ἐπικατελθὸν ἐς τὰς φλέβας ἀποκλείσῃ τὸν ἀέρα—ἐπειδὰν ἀποκλεισθῶσιν αἱ φλέβες τοῦ ἀέρος—τῶν φλεβίων ἀποκλειομένων τοῦ ἠέρος—λακτίζει δὲ τοῖσι ποσὶν ὁκόταν ὁ ἀὴρ ἀποκλεισθῇ ἐν τοῖσι μέλεσι.* Hipp. Aph. 1260: *ὁκόσοισι μεταξὺ τῶν φρενῶν καὶ τῆς γαστρὸς φλέγμα ἀποκλείεται καὶ ὀδύνην παρέχει.* Hipp. Epid. 1235: *σιτίων ἀπόκλεισις.* Aretaeus, Sign. Morb. Diuturn. 71: *τὸ γὰρ τῶν ἐντέρων ἀραιὸν—ἀπέκλεισεν ἡ ὠτειλή.* Galen. Comm. ii. 34, Epid vi. (xvii. A. 962): *καὶ ἀποκλείει τὸ ἔμφυτον θερμόν.* Galen. Comm. iv. 34, Aph. (xvii. B. 706): *αἱ τ' ἔνδον αὐτοῦ μύες φλεγμήναντες ἀποκλεῖσαι δύνανται τὴν ὁδὸν τοῦ πνεύματος.* Galen. Comm. ii. 2, Artic. (xviii. A. 427): *τὸ ζύγωμα τὰς κεφαλὰς ἀποκλείειν.* Galen. Nat. Facul. iii. 13 (ii. 192): *ὥστ' ἐν τοῖς εἰλεοῖς ὅταν ἀποκλεισθῇ τελέως ἡ κάτω διέξοδος.*

* *κατακλείειν*: *see* § 42.

§ LXX.

Luke, XIV.

* *προσαναβαίνειν.* *καταβαίνειν.* * *κατάβασις.* *ἀνώτερον.* * *ἀνωτερικός.* * *ἀνάπηρος.* * *ζεῦγος.*

ἡσυχάζειν (verse 4, § 86). * *ἀνασπᾶν* (v. 5, § 75). * *κατακλίνειν* (v. 8, § 46). * *δοχή* (v. 13, § 73). * *συμβάλλειν* (v. 31, § 68). *εὔθετος* (v. 35, § 51).

10. "But when thou art bidden, go and sit down in the lowest room; that when he that bade thee cometh, he may say unto thee, Friend, *go up higher*" (*προσανάβηθι ἀνώτερον*).

ἀνώτερον is used in only one other passage in the N. T. (Heb. x. 8); it is very frequently used in medical language, particularly in describing the position of the parts of the human body.

* *προσαναβαίνειν*, peculiar to St. Luke, is also used in anatomical description, and in the first of the following passages it is used *joined with ἀνώτερον, as in St. Luke.*

Galen. Anat. Admin. vi. 5 (ii. 561): *καὶ εἰ προσαναβαίνοις αὖθις ἀνώτερον διὰ τῶν ταπεινῶν κατὰ βάθους μερῶν, ὅπου τὸ μεσαντέριον ὃ καὶ μεσάραιον καλεῖται, τοῖς κατ' ὀσφὺν ἅπασιν, ἐν οἷς εἰσι καὶ οἱ νεφροί.* Galen. Anat. Muscul. (xviii. B. 983): *οὗτος ὁ μῦς ἅπτεται μὲν ἀεὶ καὶ τοῦ βραχίονος αὐτοῦ κατὰ τὴν πρώτην ἔμφυσιν ὀλίγον τι προσαναβαίνων ἀπὸ τοῦ κονδύλου.* Galen. Comm. iii. 132, Praedic. i. (xvi. 794): *πλήθους γὰρ ἠθροισμένου κατὰ τὰς φλέβας λεπτὸς μέν τις ὀρρὸς αὐτῷ συρρέων εἰς τὴν γαστέρα τὰς καρδιαλγίας ἐργάζεται προσαναβαίνων ἐπὶ τὸ κατ' αὐτὴν στόμα.* Galen. San. Tuend. vi. 11 (vi. 434): *καὶ προσανέβαινεν ἀεὶ τὰ συμπτώματα τοῖς ὑπερκειμένοις μέρεσι.*

καταβαίνειν: *see* § 56.

* *κατάβασις*, Luke, xix. 37. "At *the descent* (*τῇ καταβάσει*) of the Mount of Olives."

Both this word and *ἀνάβασις* were in use in medical language. Hipp. Humor. 47: *πεπασμὸς, κατάβασις τῶν κάτω, ἐπιπόλασις τῶν ἄνω, καὶ τὰ ἐξ ὑστερέων.* Galen. Hipp. et Plat. Decret. iii. 5 (v. 322): *οὔτε τῆς καταβάσεως τῶν ῥηθέντων εἰ μὴ περὶ τὸν θώρακα—ἐὰν ᾖ περὶ τὸν θώρακα, οἰκείως κατάβασις ῥηθήσεται.* Galen. Comm. iv. 24, Alim. (xv. 411): *αἱ ὁδοὶ καὶ οἷον ὀχετοὶ ἐν τῷ σώματί εἰσι τὰ καλούμενα ἀπ' αὐτοῦ ἀγγεῖα—τῇ τε ἀναβάσει καὶ τῇ καταβάσει ὑπηρετοῦσι.* Galen. Comm. i. 9, Aph. (xvii. B. 378): *ὑποκαταβαίνειν ἐκέλευσε τῆς ἐσχάτως λεπτῆς διαίτης—νῦν προστίθησιν ἕτερον σκοπὸν εἰς ἀκριβείαν τοῦ τὸ ποσὸν λαβεῖν τῆς ὑποκαταβάσεως.* It was also applied to "the going down," "descent," of a patient into a bath. Dioscor. Medic. Parab. i. 230: *εἰς τὴν ἔμβασιν τοῦ ἐλαίου καταβάσις.* And *ἀνάβασις* to one of the stages of a sickness. Galen. Comm. i. 3, Humor. (xvi. 71): *ἥκει δὲ ὁ δεύτερος καιρὸς ὁ τῆς ἀναβάσεως ὀνομαζόμενος.*

ἀνώτερον. Hipp. Fract. 797: *ὅπερ ἀποκλείει τὰς κεφαλὰς*

τῆς κάτω γνάθου τῆς μὲν ἀνωτέρω ἐὸν, τῆς δὲ κατωτέρω τῶν κεφαλαίων. Hipp. Fract. 802: *ἢ κάτω τὸν χόνδρον ἢ ἀνωτέρω.* Hipp. Fract. 807: *ὅσοισι ἂν ᾖ ἀνωτέρω τῶν φρενῶν τὸ κῦφος.* Hipp. Fract. 808: *προσδῆσαι δὲ κατωτέρω ἑκάτερον τῶν γουνάτων καὶ ἀνωτέρω.* Hipp. Fract. 794: *ἴησις δὲ σχήματος μὲν ὀλίγον ἀνωτέρω ἄκρην τὴν χεῖρα τοῦ ἀγκῶνος ἔχειν.* Hipp. Fract. 776: *τὸ δὲ σκέλος ἀνωτέρω ἔχειν.* Hipp. Artic. 822: *ἀτὰρ καὶ ἀνωτέρω φαίνεται ὁ γλουτός.* Galen. Comm. i. 15, Off. (xviii. B. 692): *οὐκ ἀνωτέρω τῶν ἀγκώνων τὴν περιβολὴν γίγνεσθαι.* Galen. Anat. Muscul. (xviii. B. 976): *ὁ σύνδεσμος ἐμφύεται τῷ βραχίονι τῆς μέσης αὐτῆς χώρας ἀνωτέρω.* Galen. Medicus, 19 (xiv. 784): *μικρὸν ἀνωτέρω τῶν κροτάφων.*

* *ἀνωτερικός.* Acts, xix. 1: "Paul having passed through the *upper* coasts (*τὰ ἀνωτερικά*) came to Ephesus." *ἀνωτερικός* is met here only in the N. T. It is a very rare word, and in medical language was applied to the upper part of the body—medicines which acted there—emetics.

Hipp. Superfoet. 264: *ἢν δὲ μὴ δοκέῃ δεῖσθαι ἀνωτερικοῦ, προπυριήσας κάτω πίσαι.* Hipp. Aphoron. 677: *ἢν δὲ μὴ δοκέῃ δεῖσθαι ἀνωτερικοῦ.* Hipp. De Purgant. 1: *ὁ αὐτὸς δὲ τρόπος καὶ προς τὰ ἀνωτερικά.* Galen. Meth. Med. xiv. 7 (x. 969): *κάθαρσις, ἥ τε διὰ τῶν ὑπηλάτων φαρμάκων καὶ ἡ διὰ τῶν ἀνωτερικῶν ἢ ἐμετικῶν ὀνομαζομένων.* Galen. Medicus, 13 (xiv. 754): *ἀνωτερικοῖς δὲ φαρμάκοις χρῆσθαι.*

13. "But when thou makest a feast, call the poor, *the maimed* (*ἀναπήρους*), the lame, the blind."

* *ἀνάπηρος.* Peculiar to St. Luke. *πηρός*, and some of its derivatives, were medical terms. Galen. Usus Part. iii. 10 (iii. 237): *ἀνάπηρον μὲν αὐτὴν καὶ τυφλὴν τὴν θείαν ἀπεργασάμενον δύναμιν.* Galen. Usus Part. xiv. 6 (iv. 162): *μὴ γὰρ δὴ νομίσῃς, ὡς ἐκὼν ἂν ποτε τὸ ἥμισυ μέρος ὅλου τοῦ γένους ἡμῶν ὁ δημιουργὸς ἀτελὲς ἀπειργάσατο καὶ οἷον ἀνάπηρον, εἰ μή τις κἀκ τούτου τοῦ πηρώματος ἔμελλεν ἔσεσθαι χρεία μεγάλη.* Galen. Meth. Med. vi. 3 (x. 408): *διακοπέντος δὲ ὅλου τοῦ νεύρου κίνδυνος μὲν οὐκέτι οὐδεὶς ἀνάπηρον δ'*

ἔσται τὸ μόριον. Galen. Anat. Administr. ii. 2 (ii. 284): ἐν οἷς εἰ μήτις εἰδείη, ποῦ μὲν ἐπίκαιρον τέτακται νεῦρον ἢ μῦς—θανάτου μᾶλλον ἢ σωτηρίας αἴτιος ἔσται τοῖς ἀνθρώποις, ἔστιν ὅτε δ' αὐτὸς ἀναπήρους αὐτοὺς ἐργάσεται. Galen. Usus Part. xiii. 11 (iv. 126): καὶ ὡς τετράπουν ἀνάπηρόν τε ἅμα καὶ βραδὺ, διὰ τὸ πλεῖστον ἀπῆχθαι τοῦ θώρακος. Hipp. Morb. Mul. 647: καὶ πηραὶ τὰ σκέλεα πολλάκις γίνονται. Hipp. Artic. 826: πηροῦται τούτοισι τὸ σκέλος μᾶλλόν τι. Hipp. Semen. 235: ταύτῃ πηροῦται τὸ παιδίον—ἢ ἑτέρῳ τρόπῳ τοιῷδε πηροῦται παιδία—ἐπὴν ἐν τῇσι μήτρῃσι κατὰ τὸ χωρίον καθότι καὶ ἐπηρώθη στενὸν ἔῃ ἀνάγκη ἐν στενῷ κινευμένου τοῦ σώματος πηροῦσθαι κατ' ἐκεῖνο τὸ χωρίον—ἐκπεπηρωμένων ἀνθρώπων ὑγιέα τίκτονται τὰ παιδία.

19. "And another said, I have bought *five yoke* (ζεύγη πέντε) of oxen, and I go to prove them: I pray thee have me excused."

*ζεῦγος is peculiar to St. Luke, and is the word used in medical language for a pair of nerves—arteries—veins—muscles.

Galen. Usus Part. iv. 7 (iii. 277): καὶ τούτου χάριν εἰς αὐτὴν ζεῦγος οὐ σμικρῶν νεύρων ἄνωθεν καταφέρεται. Galen. Usus Part. xi. 10 (iii. 881): διττὰ ζεύγη νεύρων. Galen. Usus Part. xiv. 13 (iv. 204): διὰ τοῦτ' οὖν πάνυ λεπτὸν τὸ ζεῦγος τουτὶ τῶν νεύρων. Galen. Usus Part. xvi. 12 (iv. 332): τοῦ λοιποῦ ζεύγους τῶν ἀρτηριῶν ἐπιμνησθήσομαι. Galen. Hipp. et Plat. Decret. vi. 3 (v. 527): ἀπὸ τῆς κεφαλῆς καταφέρεσθαι τέτταρα ζεύγη φλεβῶν—τὰ τέτταρα ἐκεῖνα ζεύγη φλεβῶν. Galen. Comm. 6, Nat. Hom. ii. (xv. 138): ἕτερον δ' ἄλλο ζεῦγος φλεβῶν ἄρχεται—ὥσπερ τὸ πρότερον ζεῦγος. Galen. Comm. 7, Nat. Hom. ii. (xv. 146): τὰ τέτταρα ζεῦγη τῶν φλεβῶν. Do. 8 (148): τῷ πρώτῳ ζεύγει τῶν φλεβῶν. Do. (149): τῷ δὲ δευτέρῳ ζεύγει φλεβῶν. Galen. Comm. ii. 3, Artic. (xviii. A. 431): τὸ δ' ἕτερον ζεῦγος μυῶν ὅπερ τὰς κορώνας ἐμφέρεσθαι ἔφην.

§ LXXI.

LUKE, XV.

* δραχμή. * μνᾶ.

* ἐπιμελῶς (verse 8, § 97). κολλᾶσθαι (v. 15, § 66).

* δραχμή. 8. "Either what woman having ten *pieces of silver* (δραχμὰς ἔχουσα δέκα), if she lose one *piece* (δραχμὴν μίαν), doth not light a candle, and sweep the house, and seek diligently till she find it?"

* μνᾶ. Luke, xix. 13: "And he called his ten servants, and delivered them ten *pounds* (δέκα μνᾶς), and said unto them, Occupy till I come."

St. Luke alone mentions the δραχμή and μνᾶ. He was accustomed to the use of them in his medical practice, as they were the common weights employed in dispensing medicines and in writing prescriptions.

Hipp. Morb. Mul. 626: ἀσφάλτου δραχμὴν μίαν, δαύκου καρποῦ δραχμὰς δύο—κρόκου τρίψας λεῖον ὅσον δραχμὴν ὁλκήν. Hipp. 627: στυπτηρίης σχιστῆς δραχμὰν μίαν. Hipp. Intern. Affect. 538: εἶτα συμμίξας ἅμα συνεψεῖν τὸ στέαρ τεταρτημόριον μνᾶς. 560: νίτρου ἐρευθροῦ Αἰγυπτίου τεταρτημόριον μνᾶς. Aretaeus, Cur. Acut. Morb. 89: καστόριον πιπίσκειν δραχμῆς ὁλκῆς ἥμισυ. 97: τῆς ἱερῆς δραχμὰς δύο. 104: σμύρνης δραχμὰς δύο. 109: ἀκακίης ἐμπάσσειν ἐς γ' κνάθους, τοῦ ὀξυκρήτου δραχμὴν μίαν. Dioscor. Mat. Med. i. 24: σταφίδων λιπαρῶν μνᾶς ιβ', ῥητίνης ἀποκεκαθαρμένης μνᾶς ε', καλάμου ἀρωματικοῦ, ἀσπαλάθου, σχοίνου, ἑκάστου μνᾶν α', σμύρνης δραχμὰς ιβ', οἴνου παλαιοῦ ξέστας θ', μέλιτος μνᾶς β', μίξον ἐπιμελῶς, &c., &c.

Galen. Comp. Med. vii. 3 (xiii. 78): μίλτου δραχμὰς δ', λιβάνου δραχμὰς η', κωνείου σπέρματος δραχμὰς δ', λίθου αἱματίτου δραχμὰς δ', ὑοσκυάμου σπέρματος δραχμὰς η', γῆς Σαμίας δραχμὰς γ'. Galen. Comp. Med. viii. 5 (xiii. 187): βδελλίου μνᾶν α', κηροῦ μνᾶν α', ῥητίνης μνᾶς δ', τερεμινθίνης μνᾶς δ', κασσίας μνᾶς δ', σμύρνης ἀνὰ μνᾶς δ', &c.

§ LXXII.

Luke, XVI.

* διαβάλλειν (verse 1, § 68). * ἐκλείπειν (v. 9, § 63). ἑλκοῦν (v. 20, § 22). ἕλκος (v. 21, § 22). * καταψύχειν (v. 24, § 22). * ὀδυνᾶσθαι (v. 24, § 22). στηρίζειν (v. 26, § 22). * χάσμα (v. 26, § 22).

Luke, XVII.

* λυσιτελεῖν. * συκάμινος. * συκομορέα. * παρατήρησις. παρατηρεῖν. * διατηρεῖν. τήρησις. * ζωογονεῖν.

προστιθέναι (verse 5, § 59).

2. "*It were better for him* (λυσιτελεῖ αὐτῷ) that a millstone were hanged about his neck, and he cast into the sea, than that he should offend one of these little ones."

* λυσιτελεῖν. This is the only passage in the N. T. where this word occurs; it is common in the medical writers, and by Hippocrates is used, as by St. Luke, with a comparative force.

Hipp. Fract. 765: ὥστε λυσιτελεῖ τὸν μέλλοντα κακῶς ἰητρεύεσθαι ἀμφότερα καταγῆναι τὰ σκέλεα μᾶλλον ἢ τὸ ἕτερον. Hipp. Fract. 773: λυσιτελέει δὲ ὀπίσω ἐμβάλλειν τὸ ὀστέον εἰ οἰόντε εἴη ἀόχλως. Epid. 1170: καὶ ὅπῃ ἔρευξις λυσιτελέει καὶ ἄλλα τοιαῦτα. Hipp. Praedic. 98: λυσιτελεῖ δὲ καὶ σφακελισμὸς νεύρου. Hipp. Vict. Acut. Morb. 389: ὁκότε γοῦν ταῦτα γίνεται τοῖσιν ὑγιαίνουσιν ἕνεκεν διαίτης μεταβολῆς οὔτε προσθεῖναι λυσιτελέειν φαίνεται οὔτε ἀφελέειν. Hipp. Vict. Morb. Acut. 390: ὅλως ἀφελεῖν πολλαχοῦ λυσιτελέει, ὅκου διαρκέειν μέλλει ὁ κάμινων. Hipp. Vict. Morb. Acut. 395: κίνδυνος μὴ λυσιτελέειν τὸ λουτρὸν ἀλλὰ μᾶλλον βλάπτειν. Galen. Renum Affect. 6 (xix. 687): ῥητέον τε ἰδικώτερον ποῖος τῶν οἴνων σοι πρόσφορος, ἄλλος γὰρ ἄλλοις λυσιτελεῖ. Galen. Comp. Med. i. 2 (xiii. 370): τὰ λυσιτελοῦντα τοῖς θεραπείας δεομένοις σώμασιν. Galen. Comm. ii. 36, Epid. vi. (xvii. A. 967): ὅπῃ ἔρευξις λυσιτελεῖ.

* *συκάμινος.* 6. "And the Lord said, If ye had faith as a grain of mustard seed, ye might say unto *this sycamine tree* (*τῇ συκαμίνῳ*), Be thou plucked up by the root, and be thou planted in the sea; and it should obey you."

* *συκομορέα.* Luke, xix. 4: "And he ran before, and climbed up into *a sycomore tree* (*ἐπὶ συκομορέαν*) to see him: for he was to pass that way."

St. Luke distinguishes between the mulberry tree (*συκάμινος*) and the fig-mulberry (*συκομορέα*). This distinction was not always made: even the LXX. call the fig-mulberry *συκάμινος*. Dioscorides notices this confusion of names. Mat. Med. i. 181: *συκόμορον ἔνιοι δὲ καὶ τοῦτο συκάμινον λέγουσι.* A physician would readily make the distinction, as both were used medicinally, and are frequently prescribed in the medical writers. Dioscor. Mat. Med. i. 180, 181, states their medical uses: *περὶ μορέας—μορέα ἡ συκαμινέα δένδρεον ἐστὶ γνώριμον, ἧς ὁ καρπὸς λυτικὸς κοιλίας, εὔφθαρτος, κακοστόμαχος, χυλὸς ἑψηθεὶς δὲ ἐν χαλκώματι ἢ ἡλιασθεὶς στυπτικώτερος γίνεται, μιγέντος δὲ αὐτοῦ ὀλίγου μέλιτος ποιεῖ πρὸς ῥεύματα καὶ νομὰς καὶ παρίσθμια φλεγμαίνοντα. ὁ δὲ τῆς ῥίζης φλοιὸς συνεψηθεὶς ὕδατι καὶ ποθεὶς κοιλίαν λύει καὶ πλατεῖαν ἕλμινθα ἐκτινάσσει καὶ τοῖς ἀκόνιτον πεπωκόσι βοηθεῖ, τὰ δὲ φύλλα λεῖα σὺν ἐλαίῳ καταπλασθέντα περίκαυστα ἰᾶται,* &c.

περὶ Συκομόρου—συκόμορον δένδρον δέ ἐστι μέγα, ὅμοιον τῇ συκῇ, πολύχυλον σφόδρα, τοῖς φύλλοις ἐοικὸς μορέᾳ,—ἔστι δὲ, εὐκοίλιος ὁ καρπὸς, ἄτροφος, κακοστόμαχος—δύναμιν δὲ ἔχει ὁ ὀπὸς μαλακτικὴν, κολλητικὴν τραυμάτων, διαφορητικὴν τῶν δυσπέπτων πίνεται δὲ καὶ συγχρίεται πρὸς ἑρπετῶν δήγματα καὶ ἐσκιῤῥωμένους σπλῆνας, στομάχου τε ἀλγήματα καὶ φρικίας.

Galen also gives the medicinal properties of both trees. De Facul. Aliment. ii. 11: *περὶ συκαμίνων ἃ καὶ μόρα καλοῦσι.* Do. ii. 35: *περὶ συκομόρων.*

20. "And when he was demanded of the Pharisees, when the kingdom of God should come, he answered them and said, The kingdom of God cometh not *with observation*" (*μετὰ παρατηρήσεως*).

* *παρατήρησις* is peculiar to St. Luke, and was employed (as also *τήρησις*) to denote medical observation of disease. Dioscor. Animal. Ven. Proem.: *οἷον ἐπὶ τῶν θηριοδήκτων καὶ θανασίμων ἢ ἐπὶ τῶν λοιπῶν, ἀρκεσθησόμεθα τῇ παρατηρήσει—πρὸ τῆς παρατηρήσεως ἐπ' ἔμετον.* Galen. Def. Med. 176 (xix. 396): *ὑπομνηστικὸν σημεῖόν ἐστι, ὡς οἱ ἐμπειρικοὶ λέγουσι πρᾶγμα φαινόμενον καὶ γινωσκόμενον ἐκ προπαρατηρήσεως.* Galen. De Opt. Sect. 2 (i. 109): *τῶν δὲ φαινομένων μὲν, μὴ ἐξ ἑαυτῶν δὲ, ἀλλ' ἐξ ἑτέρων καταλαμβανομένων, κριτήριόν ἐστι συμπαρατήρησις.* Galen. Opt. Sect. 10 (i. 127): *ὅταν γὰρ τοῖς βλάπτουσι συμπίπτῃ τὸ συμφέρον τότε οὔτε παρατηρήσει οὔτε λογισμῷ.* Galen. Opt. Sect. 11 (i. 131): *ἄνευ ἀποδείξεως καὶ παρατηρήσεως.* Galen. Opt. Sect. 10 (i. 127): *τῇ συμπαρατηρήσει καταλαμβάνεσθαι.*

παρατηρεῖν. Luke, vi. 7: "And the scribes and Pharisees *watched him* (*παρετήρουν*), whether he would heal on the sabbath day."

This word, used four times by St. Luke—vi. 7, xiv. 1, xx. 20; Acts, ix. 24—and twice elsewhere—Mark, iii. 2; Gal. iv. 10—was employed in medical language to express close observation of the symptoms of an illness—the constitution of a patient, &c.

Hipp. Acut. Morb. 405: *τῆς διαιτητικῆς ἐστι μέγιστον παρατηρεῖν καὶ φυλάττειν καὶ τὰς ἐπιτάσιας τῶν πυρετῶν καὶ τὰς ἀνέσιας.* Hipp. Epis. 1286: *χρὴ οὖν τὸν ἰατρὸν καὶ διαφορὴν καὶ ὥρην καὶ ἡλικίην παρατηροῦντα ἰητρεύειν τὸ πάθος.* Hipp. Acut. Morb. 398: *θερμοῖσι δὲ οὖσι θέρμασμα μηδὲν πρόσφερε, ἀλλὰ παρατήρει ὅκως μὴ ψυχθήσονται.* Galen. Comm. iii. 20, Epid. ii. (xvii. A. 270): *οὐ γὰρ ἀκριβῶς ταῦτα παρατήρησεν ἵνα καὶ ἐπίμελῶς ἐξηγεῖσθαι δύναιτο.* Galen. Comm. i. 13, Epid. iii. (xvii. A. 561): *ὥσπερ οὐκ ἐπὶ πάντων μὲν τῶν νοσούντων κοινῶς παρατηρουμένου.* Galen. Morb. Acut. 9 (xix. 217): *μέγιστον γὰρ ὂν τὸ ἐν τοῖς χρονίοις νοσήμασι παρατηρεῖν τοὺς καιρούς.* Galen. De Affect. Renum. (xix. 677): *τούτου ἕνεκα παρατηρεῖν χρὴ, κἂν μὴ ὑπακούοι τῆς θεραπείας.* Galen. De Dieb. Decret. iii. 6

(ix. 913): *εἰ δὲ μήτ' αὐτὸς παρατηρεῖν ἐθέλεις τὰ τοιαῦτα μήτε τοῖς τηρήσασι πιστεύεις.* Galen. Morb. Acut. 8 (xix. 217): *μέγιστον παρατηρεῖν ὡς ἐν τοῖς ὀξέσι καὶ ἐν τοῖσι μακροῖσιν ἀρρώστήμασι καὶ τὰς ἐπιτάσιας τῶν πυρετῶν.* Galen. San. Tuend. iii. 8 (vi. 212): *ὥσπερ αὐτὸς ὁ Θέων τοῦτό γε παρετήρησεν ὀρθῶς, φυλακτέον ἐστὶ τὴν ἐν τῷ ψυχρῷ διατριβήν.*

* *διατηρεῖν.* Luke, ii. 51: "But his mother *kept* (*διετήρει*) all these sayings in her heart."

Peculiar to St. Luke, and used again in Acts, xv. 29.

Hipp. Decor. 25: *χρὴ τὸν ἰητρὸν διειληφότα τὰ μέρεα περὶ ὧν εἰρήκαμεν διατηρέοντα φυλάσσειν.* Hipp. Epid. 1290: *ἀλλ' ἐπακολουθοῦντα τοῖς σημείοις τοῖς γινομένοις ἐν τῷ σώματι διατηρεῖν τὸν καιρὸν ἑκάστου σώματος.* Dioscor. Mat. Med. i. 86: *φλεγμονὰς παρηγορεῖ καὶ τραύματα ἀφλέγματα διατηρεῖ.* Dioscor. Mat. Med. ii. 93: *θέλῃ τις ἄσηπτον διατηρῆσαι οὕτω ποιητέον.* Dioscor. Mat. Med. ii. 108: *διατηρήσει γὰρ αὐτήν.* Dioscor. Mat. Med. v. 175: *πρός τε τὰ πυρίκαυστα ποιοῦσιν ἐπιχριόμενοι παραχρῆμα, ὥστε ἀφλυκταίνωτα διατηρεῖν τὰ πεπονθότα μέρη.* Galen. Def. Med. 95 (xix. 371): *φύσις ἐστὶ πνεῦμα ἔνθερμον ἐξ ἑαυτοῦ κινούμενον, διατηρεῖν τὸν ἄνθρωπον.* Galen. Remed. Parab. iii. (xiv. 540): *ἀμέθυσος διατηρηθῆναι εἰ θέλεις καὶ ἄνοσος φύλλα πηγάνου ἔσθιε—ἀμέθυσος διατηρεῖτο ὁ προφαγὼν ἀμύγδαλα πικρά—ἀμέθυσος διατηρεῖται ὁ πνεύμονα προβάτου νήστης ἐσθίων ἑφθόν.* Galen. Medicus, 8 (xiv. 693): *διαφέρει δὲ ἐν τῷ ὑγιεινῷ πάλιν, τὸ ἐν ὑγείᾳ διατηρῆσαι τοῦ προφυλάξαι νόσους ἐπιούσας.*

τήρησις. Acts, iv. 3: "And they laid hands on them, and put them *in hold* (*εἰς τήρησιν*) unto the next day."

τήρησις, met again in Acts, v. 18, and one other passage in the N. T. (1 Cor. vii. 19), is of frequent occurrence in medical language, signifying observation like *παρατήρησις*—preservation of health—and guarding against disease.

Galen. Comm. iv. 55, Acut. Morb. (xv. 830): *τῶν ἐκ τηρήσεως, ἐμπειρικῶς γεγραμένων τοῖς ἰατροῖς.* Galen. Comm. ii. 1, Humor. (xvi. 209): *αὐτῶν γὰρ τήρησις πρὸς τὴν*

θεραπευτικήν ἐστιν ἀναγκαία. Galen. Comm. iii. 31, Epid vi. (xvii. B. 100): *οὐ μόνον λογικὴν εὕρεσιν βοηθημάτων ἀγνόειν ἀλλὰ καὶ τήρησιν ἐμπειρικήν.* Galen. Comm. iii. Praef. Aph. (xvii. B. 562): *ἀλλ' εἰς ἐμπειρίαν καὶ τήρησιν ἀναπέμψαντας ἅπαντα.* Galen. Comm. i. 1, Offic. (xviii. B. 645): *κἀπειδὰν ἐκ τῆς τηρήσεως ταύτης πολλῶν συνδρομῶν ἐμπειρίαν ἔχῃ.* Galen. Aliment. Facul. ii. 6 (vi. 569): *ἐν τούτῳ δ' ἐστὶν μάλιστα τὸ χρήσιμον εἰς ὑγιείας τε φυλακὴν καὶ νόσων τήρησιν.* Galen. Medicus, 3 (xiv. 683): *μήτε τῇ ἐπὶ ταῖς συνδρομαῖς τηρήσει τῶν διὰ πείρας ἁρμαζόντων ἀρκεῖσθαι.* Galen. Opt. Sect. 8 (i. 124): *δεῖ τὰς τηρήσεις ποιῆσαι.* Do.: *ἀδύνατον ἂν εἴη ἡ τοιαύτη τήρησις.* Galen. Opt. Sect. 24 (i. 173): *ἡ τῆς ὑγείας τήρησις.*

33. "Whosoever shall seek to save his life shall lose it; and whosoever shall lose his life *shall preserve it*" (ζωογονήσει).

* *ζωογονεῖν*, peculiar to St. Luke (it is however a various reading for *ζωοποιεῖν*, 1 Tim. vi. 13), and used also in Acts, vii. 19. *ζωογονεῖν*, *ζωογόνος*, and *ζωογονία* were used in medical language to signify "producing alive," "enduing with life."

Galen. Animal in Utero, 2 (xix. 163): *εἰ μὴ τὴν ἀπὸ τῶν τελείων ζωογονίαν λάβοι.* Do. 5 (175): *μὴ τοίνυν μηδὲ περὶ τὴν τὰ ἔμβρυα ζωογονίαν ἀπιστῶμεν εἶναι ζώωσιν.* Do. (180): *Κύψελος ζωογονούμενος.* Galen. Ars Med. 12 (i. 266): *πραγματεῖαι δέ εἰσιν, ἥ τε περὶ ζωογονίας ὀνομαζομένη.* Aretaeus, Sign. Morb. Diuturn. 64: *ζωογόνον σπέρμα.* Theophrastus, H. P. vii. 14. 3: *ἐκεῖνά τε γὰρ ἐν ἑαυτοῖς ὠοτοκήσαντα ζωογονεῖ.* Do. H. P. viii. 11. 2: *μόνος γὰρ οὗτος οὐ ζωογονεῖ.* Do. C. P. iii. 23. 3: *πανταχοῦ γὰρ ἡ φύσις ζωογονεῖ.* Do. C. P. iii. 24. 3: *ζωογονεῖται.* Do. C. P. iv. 15. 2: *τὰ ὠὰ καὶ τελειοῖ καὶ ὅλως ζωογονεῖ τὸ περιέχον.* Do. C. P. iv. 15. 4: *καὶ ὅλως ὅσα τῶν ἀψύχων ζωογονεῖται.* Do. C. P. v. 9. 3: *ἐν τῇ μεταβολῇ διὰ τὴν σῆψιν ἡ ζωογονία—ἡ δριμύτης κωλύει ζωογονεῖν.*

§ LXXIII.

LUKE, XVIII.

* *βελόνη* (verse 25, § 38). * *τρῆμα* (v. 25, § 38). *παραχρῆμα* (v. 43, § 57).

LUKE, XIX.

ὑποδέχεσθαι. * *διαδέχεσθαι.* * *διάδοχος.* * *δοχή.* * *ἐνδέχεσθαι.* * *πραγματεύεσθαι.* * *διαπραγματεύεσθαι.* * *ἐκκρέμασθαι.*

* *συκομορέα* (verse 4, § 72). *παραχρῆμα* (v. 11, § 57). *προστιθέναι* (v. 11, § 59). * *μνᾶ* (v. 13, § 71). * *ἐπανέρχεσθαι* (v. 15, § 21). * *ὑποστρώννυμι* (v. 36, § 50). * *κατάβασις* (v. 37, § 70).

ὑποδέχεσθαι. 6. "And he made haste, and came down, and *received him* (*ὑπεδέξατο*) joyfully."

Used again: ch. x. 38, Acts, xvii. 7; and in only one other place in the N.T.: James, ii. 25.

The derivatives of *δέχεσθαι* were very much employed in medical language.

Hipp. Loc. in Hom. 418: *ὁ ἰχὼρ ὁ ἀπὸ τοῦ ἕλκεος ἀπορῥέων κωλύεται ἔξω χωρέειν—ἡ δὲ σὰρξ ὑποδέχεται.* Hipp. Morb. 460: *ὁκόταν γὰρ ἡ ἄνω κοιλίη ὑπερθερμανθῇ, ἕλκει ἐφ' ἑωυτὴν καὶ ὑποδέχεται ὁ πλεύμων.* Hipp. Affect. 530: *ἡ κοιλίη ὅταν ὑγροτέρη ἐοῦσα καὶ ὅταν ξηροτέρη ὑποδέχεται τὸ σιτίον.* Hipp. Humor. 51: *οἱ ὕποπτοι τόποι ὑποδεξάμενοι πόνῳ ἢ βάρει ἢ ἄλλῳ τινὶ ῥύονται.* Galen. Comm. iv. 5, Humor. (xvi. 385): *γαστὴρ μὲν οὖν ὑποδέχεται τὴν τροφήν.* Galen. Comm. i. 1, Humor. (xvi. 17): *ἐνίοτε δὲ ἕν τι μόριον ἢ πικρόχυλον ἢ φλεγματικὸν ἢ μελαγχολικὸν ὑποδεξάμενον χυμόν.* Galen. Comm. ii. 22, Humor. (xvi. 282): *τὰς ἀποστάσεις ὑποδέχεσθαι.* Galen. Comm. vi. 2, Epid. vi. (xvii. B. 318):

τὰ δ' ἐκ τῆς καρδίας ὁ πνεύμων ὑποδέχεται. Galen. Comm. i. 3, Aph. (xvii. B. 364): αἱ φλέβες ἔτι χώραν ἔχωσιν ὑποδέχεσθαι τὴν ἀναδιδομένην τροφήν. Galen. Comm. ii. 15, Aph. (xvii. B. 472): ἥ τε φάρυγξ ὑποδεχομένη τοὺς ἐκ τῆς κεφαλῆς καταῤῥεύντας χυμούς.

* διαδέχεσθαι. Acts, vii. 45: "Which also our fathers *that came after* (διαδεξάμενοι) brought in with Jesus into the possession of the Gentiles."

Peculiar to St. Luke, and used in medical language of a succession of diseases.

Aretaeus, Cur. Acut. Morb. 88: ἢν μὲν ἐξ ἑτέρης νούσου ὀκοῖόν τι φρενίτιδος διαδέξηται ἡ λήθη—ἢν δὲ μὴ ἐκ διαδέξιος νούσου ἀλλ' ἐωυτέου ἄρχηται ὁ λήθαργος. Aret. Cur. Morb. Acut. 148: ἢν δὲ ἐκ πολλῶν μὲν ἤδη χρόνων ἔῃ ἀτὰρ καὶ ἐκ διαδέξιος πατέρων φανῇ συναποθνήσκει ἡ νοῦσος. Galen. Comm. ii. 2, Aliment. (xv. 233): ἀλλήλας γὰρ αἱ πέψεις διαδέχονται. Galen. Comm. iii. 27, Aliment. (xv. 374): τῶν ἐναντίων κινήσεων τῶν ἀλλήλων διαδεχομένων. Galen. Comm. iv. 29, Aliment. (xv. 417): διαδέχεται δ' αὐτὸν ἐνταῦθα μεγίστη φλέψ. Galen. Comm. iii. 120, Praedic. (xvi. 772): καὶ μετάπτωσιν ἔχοντα ποικίλως ἄλληλα διαδεχομένων τῶν συμπτωμάτων. Galen. Comm. iii. 153, Praedic. (xvi. 814): ὅταν μὴ παύσῃ τὴν νόσον αἱμορῥαγία, διαδέξεται δ' αὐτὴν ῥῖγος. Galen. Comm. iii. 9, Epid. ii. (xvii. A. 333): ἡ δὲ παραπληγία πολλάκις τὴν τῆς ἀποπληξίας λύσιν διαδέχεται. Galen. Comm. i. 4, Epid. iii. (xvii. A. 574): τῶν ἐναντίων κινήσεων ἀλλήλων διαδεχομένων ἅμα ψύξεως αἰσθήσει. Galen. Loc. Affect. vi. 3, (viii. 399): τέσσαρα γὰρ ταῦτα συμπτώματα διαδέχεται τὴν ἐν τῷ σφυδρῷ δίψει πόσιν.

* διάδοχος. Acts, xxiv. 27: "But after two years Porcius Festus *came into Felix' room* (ἔλαβε διάδοχον ὁ Φῆλιξ).

Peculiar to St. Luke, and used in medical language like διαδέχεσθαι.

Hipp. Epid. 959: καὶ ὅσαι ἐξ οἵων εἰς οἷα διαδοχαὶ νοσημάτων. Aretaeus, Cur. Morb. Diuturn. 141: ἥπερ οἱ σκίῤῥοι

διάδοχον ἐς διαπνοὴν ἄγωνται. Aret. Sign. Acut. Morb. 25: εἶτ' αὐτοῖς ἐξάπτεται τὸ δίψος, αὖθις ἄδην πίνουσι καὶ ἥδε ἡ διαδοχὴ τοῦ κακοῦ. Aret. Sign. Morb. Diuturn. 75: νεφρῶν καὶ κύστιος ἡ διαδοχή—καὶ τῶνδε ἄφυκτος ἡ διαδοχή. Galen. Comm. i. 1, Humor. (xvi. 56): διαδοχαὶ γίνονται νοσημάτων—ἐν τῇ τῶν ἡλικιῶν διαδοχῇ. Galen. Comm. ii. 11, Humor. (xvi. 247): γίνονται διαδοχαὶ ὀλεθριοὶ τῶν νοσημάτων—διαδοχὴ σωτηρίας. Galen. Comm. iii. 31, Humor. (xvi. 471): γίνονται διαδοχαὶ τῶν χυμῶν. Galen. Comm. iii. 1, Epid. i. (xvii. A. 216): διαδοχαὶ νοσημάτων καὶ ἀποστάσιες—διαδοχαὶ γοῦν ὀλέθριοί τε καὶ κρίσιμοι γίνονται νοσημάτων.

* δοχή. Luke, v. 29: "And Levi made him a great *feast* (δοχήν) in his own house."

Peculiar to St. Luke, and used also in ch. xiv. 13.

This very rare word, used by St. Luke for a reception, is used by Aretaeus for a receptacle. ὑποδοχή, δοχεῖον, and ὑποδοχεῖον are the more usual medical words.

Aretaeus, Sign. Acut. Morb. 13: πνεύμονος ἔρυμα καὶ δοχή. Aret. Cur. Morb. Diuturn. 143: ἀσκίτῃ μὲν γὰρ δοχεῖον τὸ περιτόναιον. Galen. Medicus, 11 (xiv. 719): δοχεῖα δέ εἰσιν καὶ ἐργαστήρια τοῦ γόνου. Galen. Med. Defin. 57 (xix. 362): κύστις ἐστὶ νευρώδης ὑποδοχεῖον ἅμα καὶ ἐργαλεῖον ἐκκριτικὸν ὑγροῦ τοῦ περιττώματος. Galen. Med. Def. 54 (xix. 361): κοιλία ἐστὶ νευρώδης ὑποδοχεῖον τροφῆς. Do. 55: ἔντερά ἐστι νευρώδη τὰ μὲν πρὸς τὴν πέψιν συνεργοῦντα τὰ δὲ πρὸς τὴν ὑποδοχήν.

* ἐνδέχεσθαι. Luke, xiii. 33: "Nevertheless I must walk to-day, and to-morrow, and the day following: for *it cannot be* (οὐκ ἐνδέχεται) that a prophet perish out of Jerusalem."

Peculiar to St. Luke, and much employed in medical language.

Hipp. De Gland. 271: τὰ δὲ ἔντερα ἐκ τῶν τευχέων ἐς τὰ ἐπίπλοα ἐνδέχεται καὶ καθίησι τὴν ὑγρασίαν. Hipp. De Liquid. Usu. 426: μέλας οἶνος ψυχρὸς ἐπὶ τὰ ἕλκεα ἐνδέχεται. Do. 427: ὑστέρῃσιν οὐ πάνυ ἐνδέχεται. Hipp. Aphoron.: ἢν δὲ

ἐνδέχηται ἐν τῷ στόματι τῆς μήτρας. Hipp. Fract. 771 : μάλιστα δὲ ἐν κνήμῃ ἐνδέχεται μηχανοποιέειν. Hipp. Artic. 789 : ἄλλην ἐσχάρην ἐνδέχεται ἐνθεῖναι. Hipp. Aph. 1243 : ἀλλ' ἐνδέχεται ἀδροτέρως διαιτᾶν. Galen. Comm. iii. 13, Aliment. (xv. 305) : ἐνδέχεται δὲ προηγεῖσθαι τῆς νόσου διάθεσιν ἑτέραν τινά. Galen. Comm. i. 19, Humor. (xvi. 187) : οὐ γὰρ ἐνδέχεται τὸν νοσοῦντα ἔχειν κατὰ φύσιν τὴν κοιλίαν. Galen. Comm. iii. 26, Humor. (xvi. 460) : ἐνδέχεται μὲν γὰρ αὐτοὺς ἐπιτηδείους εἶναι πρός τι μέγα πάθος.

* πραγματεύεσθαι. 13 : "And he called his ten servants, and delivered them ten pounds, and said unto them, *Occupy* (πραγματεύσασθε) till I come."

* διαπραγματεύεσθαι. 15 : "And it came to pass, that when he was returned, having received the kingdom, then he commanded these servants to be called unto him, to whom he had given the money, that he might know how much every man *had gained by trading*" (διεπραγματεύσατο).

Both words are peculiar to St. Luke, and in medical language were used of a physician, in the practice of his profession, using his utmost skill and attention in a case of sickness.

Hipp. Epid. 1201 : καὶ πάντα πραγματευσαμένων ἡμῶν ὅσα ἦν πρὸς τὸ τὰ γυναικεῖα κατασπάσαι οὐκ ἤλθεν ἀλλ' ἀπέθανεν οὐ πολὺν μετέπειτα χρόνον βιώσασα. Galen. Comm. ii. 40, Praedic. (xvi. 600) : οὐχ ἁπλῶς, ἀλλὰ μετὰ τοῦ πραγματεύεσθαί τι τὸν ἰατρὸν ἢ διὰ κλυστῆρος, ἢ διὰ βαλάνου. Galen. Comm. ii. 59, Praedic. i. (xvi. 639) : πραγματευσαμένων τῶν ἰατρῶν. Galen. Comm. iii. 100, Praedic. (xvi. 720) : τουτέστι μετὰ τοῦ πραγματεύσασθαί τι τὸν ἰατρόν. Galen. Comm. iii. 9, Epid. ii. (xvii. A. 406) : μετὰ τοῦ πραγματεύεσθαί τι τὸν ἰατρὸν ἢ διὰ κλυστῆρος ἢ διὰ βαλάνου. Galen. Comp. Med. i. 3 : ἐπιμελέστερόν μοι δοκοῦντος πεπραγματεῦσθαι τὴν τῶν ἀχώρων θεραπείαν. Galen. Comp. Med. viii. 7 (xiii. 198) : οἱ πρὸ ἡμῶν ἄριστα πραγματευόμενοι περὶ φαρμάκων. Galen. Loc. Affect. iii. 11 (viii. 197) : διεσώθη γὰρ οὐδὲν ἄλλο πραγματευόμενος ἔτι. Galen. Loc. Affect. iv. 11 (viii. 291) : ἀλλ' ὅπως οὐκ ὀλίγα πραγματευσαμένων ἀμφ' αὐτοὺς ἡμῶν οὔτε τούτων τις οὔτ'

ἄλλος ἐσώθη. Galen. Med. Def. 11 (xix. 352) : *θεραπευτικὸν δὲ τὸ περὶ τὴν ἴασιν ἢ ἀνάκλησιν τῆς διαφθαρμένης ὑγιείας καὶ ἀποκατάστασιν αὐτῆς πραγματευόμενον.*

Galen. Comm. i. 20, Aph. (xvii. B. 436) : *πότε μὲν ἐπιτρεπτέον ἐστὶ τῇ φύσει τὸ πᾶν αὐτῇ περὶ τὸν νοσοῦντα διαπράττεσθαι, μηδὲν ἡμῶν ἄλλο διαπραγματευομένων, ὅτι μὴ τὸ κατὰ τὴν δίαιταν, πότε δὲ οὐ μόνον τῇ φύσει τὸ πᾶν ἐπιτρεπτέον, ἀλλά τι καὶ αὐτοὺς πραγματεύεσθαι.*

48. "And he could not find what they might do: for all the people were *very attentive* (ἐξεκρέματο) to hear him."

ἐκκρέμασθαι is found in this passage only, and was in medical use.

Hipp. Superfoet, 261 : *ἵνα τὸ ἔμβρυον ἐκκρεμάμενον συνεπισπᾶται τῷ βάρει ἔξω.* Hipp. Artic. 795 : *ἀγκῶνι δὲ ἄκρῳ ὑποτιθέντα τι παρὰ τὸ ἄρθρον βάρος ἐκκρεμάσαι.* Hipp. Artic. 833 : *παραστάντα ὀρθὸν παρὰ τὸ σῶμα τοῦ κρεμαμένου ἐξαπίνης ἐκκρεμασθέντα μετέωρον αἰωρηθῆναι—αὐτό τε γὰρ τὸ σῶμα κρεμάμενον τῷ ἑωυτοῦ βάρει κατάτασιν ποιέεται, ὅ τε ἐκκρεμασθεὶς ἅμα μὲν τῇ κατατάσει ἀναγκάζει ὑπεραιωρεῖσθαι τὴν κεφαλὴν τοῦ μηροῦ ὑπὲρ τῆς κοτύλης.* Hipp. Moch. 850 : *ὑποθείς τι παρὰ τὸ ἀρθρὸν βάρος ἐκκρεμάσαι ἢ χερσὶ καταναγκάσαι.* Hipp. Morb. 484 : *ἀλλὰ δοκέει τι αὐτῷ οἷον ἐκκρέμασθαι βαρὺ ἀπὸ τοῦ πλευροῦ.* Galen. Comm. ii. 22, Acut. Morb. (xv. 554) : *ἀλλὰ μὴν καὶ ἐκκρέμασθαι δοκεῖν τὰ σπλάγχνα τοῖς ἐνδεῶς διαιτηθεῖσι.* Galen. Comm. i. 9, Humor. (xvi. 94) : *ὅθεν αἴσθησις γίνεταί τισιν κρεμᾶσθαι αὐτοῖς τὰ σπλάγχνα.* Galen. Comm. i. 43, Artic. (xviii. A. 753) : *ἐκκρεμασθῆναι τὸν εἰς τὸ κάτω μέλλοντα τὴν κεφαλὴν ἐπισπάσαι τοῦ μηροῦ.* The adjective ἐκκρεμής also was used.

§ LXXIV.

Luke, XX.

προστιθέναι (verse 11, § 59). παρατηρεῖν (v. 20, § 72). * ἄτεκνος (v. 28. § 57).

Luke, XXI.

* φόβητρα. * προσδοκία. προσδοκᾶν. * ἀπορία. ἀπορεῖν. * εὐπορία. * εὐπορεῖσθαι. * διαπορεῖν. * ἀποψύχειν. * ἀνάψυξις. * ἐκψύχειν. * καταψύχειν. * κραιπάλη. * βαρύνειν.

* ἐκχωρεῖν (verse 21, § 61). πίμπλημι (v. 22, § 60). *σάλος (v. 25, § 97). * προβάλλειν (v. 30, § 68).

11. "And great earthquakes shall be in divers places, and famines, and pestilences; and *fearful sights* (φόβητρα) and great signs shall there be from heaven."

* φόβητρα. This rare word is peculiar to St. Luke, and used by Hippocrates to express fearful objects that present themselves to the imagination of the sick.

Hipp. Morb. Sacr. 303: ὁκόσα δὲ δείματα νυκτὸς παρίσταται καὶ φόβοι καὶ παράνοιαι καὶ ἀναπηδήσιες ἐκ τῆς κλίνης καὶ φόβητρα.

26. "*Men's hearts failing them* (ἀποψυχόντων ἀνθρώπων) for fear and *for looking after* (προσδοκίας) those things which are coming on the earth."

* προσδοκία, peculiar to St. Luke, and used also in Acts, ch. xii. 11, was employed in medical language to denote "expectation" of the result, usually fatal, of an illness, approach of pain, or paroxysms.

Galen. Comm. iii. 11, Epid. i. (xvii. A. 295): καὶ τὰ συμπτώματα πάντα διέμεινε τὴν προσδοκίαν βεβαιοῦντα τοῦ θανάτου. Galen. Comm. 33, Aph. vi. (xviii. A. 54): ἐπι-

γίνεται τοῖς πλευριτικοῖς ἥ τε τῆς σωτηρίας ἥ τε τοῦ θανάτου προσδοκία. Galen. Comm. i. 13, Offic. (xviii. B. 686): *διὰ τὴν τῆς ὀδύνης προσδοκίαν.* Galen. De Melanchol. i. (xix. 703): *γίγνεσθαι καὶ δυσθυμίας καὶ θανάτου προσδοκίας οὐδὲν θαυμαστόν.* Galen. San. Tuend. iii. 2 (vi. 169): *ἀλλ' ὅμως ἀποθεραπεύειν αὐτῶν χρὴ σώματα, κἂν εἰ μὴ διὰ κόπου προσδοκίαν.* Galen. Caus. Sympt. ii. 7 (vii. 208): *δυσθυμίας καὶ θανάτου προσδοκίας.* Galen. De Crisibus, iii. 10 (ix. 748): *βεβαιοτέρου δέ σοι ποιήσει τὴν προσδοκίαν ἡ κίνησις τοῦ νοσήματος.* Galen. Progn. ad Posthum. 2 (xiv. 611): *ἐφ' ᾧ κατὰ τὴν ἑσπέραν ἐπυνθάνετό μου τίνα προσδοκίαν ἔχοιμι τῶν μελλόντων.* Galen. Comm. iii. 114, Praedic. i. (xvi. 756): *τῇ προσδοκίᾳ τοῦ σπασμοῦ.* Galen. Comm. iii. 117, Praedic. (xvi. 760): *ἀπὸ βραχυτάτης προσδοκίας ἐνίοτε σπασμώδεις ἔσεσθαι.*

προσδοκᾶν, Luke, xii. 46: "The lord of that servant will come in a day when *he looketh not for him*" (*οὐ προσδοκᾷ*).

This word, which was much employed in medical language, is used *eleven times* by St. Luke—i. 21, iii. 15, vii. 19, 20, viii. 40, xii. 46; Acts, iii. 5, x. 24, xxvii. 33, xxviii. 6, *bis;* and *but five times* in the rest of the N. T.—Matt. xi. 3, xxiv. 50; 2 Pet. iii. 12, 13, 14.

Galen. Comm. ii. 81, Praedic. (xvi. 669): *τῶν καταφορικῶν τι νοσημάτων προσδόκα.* Galen. Comm. iii. 1, Epid. i. (xvii. A. 256): *ἐν ὀξεῖ νοσήματι τὴν κρίσιν ἐχρῆν ἐσομένην προσδοκᾶν διὰ ταχέων.* Do. (258): *προσδόκησεν ἄν τις εὐλόγως μὴ δυνηθήσεσθαι τὸν κατὰ τὴν ἕκτην ἡμέραν ἐσόμενον παροξυσμὸν ὑπομεῖναι τὸν κάμνοντα.* Do. (257): *ἐπεκύρωσε τὸν προσδοκώμενον ὄλεθρον σύντομον.* Galen. Comm. iii. 11, Epid. i. (xvii. A. 295): *εἰκότως ἄν τις αὐτὴν προσεδόκησε τεθνήξεσθαι διὰ ταχέων.* Galen. Comm. i. 23, Epid. iii. (xvii. A. 570): *ἀλλ' ὑποστρέφειν ἐν τάχει τὸ νόσημα προσδοκῶμεν.* Galen. Comm. iii. 19, Progn. (xvii. B. 270): *τηνικαῦτα θάνατον οὐκέτι προσδοκᾶν χρὴ τῷ κάμνοντι γενέσθαι.* Galen Progn. ad Posthum. 2 (xiv. 610):

ἐν ᾗ προσδοκᾶται γενησόμενος ὁ διὰ τετάρτης παροξυσμός. Galen. Progn. ad Posthum. 13 (xiv. 668): σφοδρὰν ἔσεσθαι προσδοκᾷν τὴν αἱμορῤῥαγίαν. Hipp. De Arte 5: κρέσσον ἐστὶ τῶν ἐν τῇ ἰατρικῇ ὀργάνων, οὐδὲ προσδοκᾶσθαι δεῖ ὑπὸ ἰητρικῆς κρατηθῆναι ἄν.

25. "And there shall be signs in the sun and in the moon and in the stars; and upon the earth distress of nations *with perplexity*" (ἐν ἀπορίᾳ).

* ἀπορία, ἀπορεῖν, * εὐπορία, * εὐπορεῖν, * διαπορεῖν, are all peculiar to St. Luke, with the exception of ἀπορεῖν: they were much used by the medical writers.

* ἀπορία is used in the same sense as in St. Luke, for a perplexed state, as also in the more usual one of "want," absence of a thing.

Hipp. De Dieb. Judic. 58: καὶ πνεῦμα πυκνὸν καὶ θερμὸν ἀναπνέει καὶ ἀπορίη καὶ ἀδυναμίη ἔχει καὶ ῥιπτασμός. Hipp. Morb. 489: καὶ δηγμὸς ἰσχυρὸς ἐμπίπτει καὶ ἀπορίη ὥστε οὔτε ἑστάναι οὔτε καθῆσθαι οὔτε κατακεῖσθαι, οἷός τέ ἐστιν. Hipp. Epid. 1077: πολὺς βληστρισμὸς, ἀπορίη, παρέκρουσεν. Hipp. Epid. 1153: πνεῦμα δὲ προΐστατο καὶ ἀπορίη ξὺν ὀδύνῃ—καὶ ἀπὸ μέσης ἡμέρας ὀδύνη ἔσχεν ἰσχυρὴ πάνυ καὶ ἐς τὴν ὑστέρην πνεῦμα καὶ ἀπορίη. Aretaeus, Sign. Acut. Morb. 13: γλώσσης ξηρότης, ἐπιθυμίη ψυχροῦ ἠέρος, γνώμης ἀπορίη. Aret. Sign. Acut. Morb. 25: ἔκλυσις μελέων ἀπορίη, ἀποσιτίη. Aret. Sign. Morb. Diuturn. 33: καρηβαρίη, ἀπορίη, ζωὴ δύσφορος. Galen. Med. Comp. viii. 4 (xiii. 171): ἐφ' ὧν δυσθυμία τις ἢ ἀπορία παρέπεται. Galen. Loc. Affect. ii. 5: ἄσῃ τε καὶ ἀπορία πολλή.

ἀπορεῖν. Luke, xxiv. 4: "And it came to pass *as they were much perplexed* (ἐν τῷ ἀπορεῖσθαι) thereabout."

Used also Acts, xxv. 20, and three other places in the N. T.

Hipp. Aer. 281: ὥστε μὴ ἀπορέεσθαι ἐν τῇ θεραπείῃ τῶν νούσων μηδὲ διαμαρτάνειν. Hipp. Fract. 763: περὶ γὰρ τῶν σωλήνων τῶν ὑποτιθεμένων ὑπὸ τὰ σκέλεα τὰ κατηγότα ἀπορέω ὅτι ξυμβουλεύσω. Hipp. Decor. 24: ἐπὴν δὲ ἐσίῃς

πρὸς τὸν νοσέοντα, τουτέων σοι ἀπηρτισμένων ἵνα μὴ ἀπορῇς, εὐθέτως ἔχων ἕκαστα πρὸς τὸ πονησόμενον. Aretaeus, Sign. Morb. Diuturn. 72: ὀλέθρια δὲ τὰ ἕλκεα, ἢν πρὸς τοῖσι ἄλγος ὀξύνῃ ἡ ἄνθρωπος ἀπορῇ. Galen. Comm. ii. 27, Humor. (xvi. 299): οὐ γὰρ δεῖ ἀπορεῖν περὶ σπληνός. Galen. Comm. ii. 41, Praedic. (xvi. 601): οὐκ ἀπορῶν περὶ ταύτης διὰ τὸ πολὺ παραμένειν τῆς ὀσφυὸς ἄλγημα. Galen. Comm. iii. 10, Progn. (xviii. B. 254): ἀπορούμεθα, προσηγορίαν ἰδίαν οὐκ ἔχοντες θέσθαι τῷ νοσήματι. Galen. Temperament. ii. 6 (i. 631): οὐκ γνόντες ἔνιοι τῶν ἰατρῶν ἀποροῦνται δεινῶς ἐπὶ τῇ διαφωνίᾳ τῶν συμπτωμάτων. Galen. Usus. Part. iv. 13 (iii. 308): οὔκουν ἐτ' ἀπορήσεις περὶ τῆς τοῦ νεύρου μικρότητος. Galen. Aliment. Facul. ii. 22 (vi. 601): ἐπάρθαι δὲ καὶ βαρύνεσθαι τὴν γαστέρα καὶ διὰ τοῦτο ὠχριᾶν τε καὶ ἀπορεῖσθαι.

* εὐπορία, Acts, xix. 25: "Whom he called together with the workmen of like occupation and said, Sirs, ye know that by this craft we have our *wealth*" (ἡ εὐπορία ἡμῶν).

This word, peculiar to St. Luke, is found here only: it was very much used in medical language as opposed to ἀπορία.

Hipp. Decor. 24: ἐσκέφθω δὲ ταῦτα πάντα ὕπως ᾖ σοι προκατηρτισμένα εἰς τὴν εὐπορίην, ὡς δέοι, εἰ δὲ μή, ἐπὶ τοῦ χρέους ἀπορίη ἀεί. Hipp. Morb. Sacr. 301: κατὰ δὲ τὴν εὐπορίην τοῦ τρόπου τῆς ἰήσιος ἰῶνται. Hipp. Decor. 17: ἰητροὺς κελεύῃ καὶ ἑτέρους εἰσάγειν ἕνεκα τοῦ ἐκ κοινολογίας ἱστορῆσαι τὰ περὶ τὸν νοσέοντα καὶ συνεργοὺς γενέσθαι ἐς εὐπορίην βοηθήσιος—πάσῃ γὰρ εὐπορίῃ ἀπορίη ἔνεστι. Galen. Comm. iv. 60, Artic. (xviii. A. 776): τὴν εὐπορίαν ἀσκεῖν τῶν ἐπιτηδείων πρὸς τὴν θεραπείαν. Galen. Comm. i. 42, Fract. (xviii. B. 400): ὁ γὰρ ἐν ἐλάττονι χρόνῳ δι' εὐπορίας τῆς ὕλης αἱ δυνάμεις ἐργάζονται, τοῦτ' ἐν πλείονι δι' ἀπορίαν. Galen. Comm. ii. 41, Fract. (xviii. B. 479): τὴν δ' εὐπορίαν τῶν εἰς τὰς θεραπείας χρησίμων ἀσκεῖν ἀεὶ συμβουλεύων ὁ Ἱπποκράτης. Do. 48 (xviii. B. 484): ἐπεὶ δὲ ἀσκεῖν ἡμᾶς ἀξιοῖ τὴν εὐπορίαν τῶν ἰαμάτων. Galen. Comp. Med. i. 4

(xiii. 390): *εὐπορία δὲ τοῖς ἐνιεμένοις ὑγροῖς φαρμάκοις ἐπὶ πλέον διεξιέναι.* Galen. Remed. Parab. Praef. (xiv. 313): *ὅπου δὲ ὀξὺς ὁ καιρὸς καὶ οὐκ εὔπορος ἡ τῶν βοηθημάτων εὐπορία.*

Galen and Dioscorides have written works entitled *περὶ εὐπορίστων φαρμάκων.*

* *εὐπορεῖσθαι.* Acts, xi. 29: "Then the disciples every man *according to his ability* (*καθὼς εὐπορεῖτο*) determined to send relief unto the brethren which dwelt in Judaea."

Peculiar to St. Luke, and of frequent use in medical language. Hipp. de Arte 6: *πρὸς μὲν οὖν τὰ φανερὰ τῶν νοσημάτων οὕτω δεῖ εὐπορέειν τέχνην, δεῖ γε μὲν αὐτὴν μηδὲ πρὸς τὸ ἧσσον φανερὰ ἀπορέειν.* Hipp. De Corde 279: *εὐπορέει δὲ τὴν τροφὴν ἐκ τῆς ἐγγιστα δεξαμένης τοῦ αἵματος.* Hipp. Artic. 814: *ἐπειρήθην δὲ δήποτε ὕπτιον τὸν ἄνθρωπον κατατείνας—ἀλλά μοι οὐκ εὐπορεῖτο.* Hipp. De Octimestr. Partu. 258: *ὁκόσα δὲ παιδία ἂν εὐπορήσῃ καὶ ἀσφαλέως καὶ ἐς τοὐμφανὲς ἐξίῃ,* &c. Aretaeus Cur. Acut. Morb. 120: *πάντων δὲ κράτιστον σικύη καὶ κινναμωμον, ἤν τις εὐπορῇ—τάσδε μέντοι ἐν τροφῇ τὰς ἀρετὰς ἴσχει τὸ γάλα, εὐπορείσθω δὲ νεοτόκου.* Dioscorides Venen. 5: *ὥστε τοὺς εὐπορήσαντας τούτου, ἄλλου μηδενὸς χρῄζειν βοηθήματος.* Galen. Remed. Parab. i. Proem. (xiv. 312): *οὔτε γὰρ φαρμάκων πολυτελῶν ἐν παντὶ τόπῳ ῥᾴδιον εὐπορεῖν—ἐπ' ἀπόροις εὐπορουμένων βοηθημάτων.* Do. (p. 313): *καὶ διὰ τοῦτο εὐπορουμένων φαρμάκων μνημονεύσομεν.*

* *διαπορεῖν.* Luke, ix. 7: "Now Herod the tetrarch heard of all that was done by him, and *he was perplexed*" (*διηπόρει*).

Peculiar to St. Luke, and met with again, Acts, ii. 12, v. 24, x. 17.

Hipp. Morb. Acut. 391: *καὶ ἱδρῶτες περὶ τὸν τράχηλον καὶ διαπορήματα.* Galen. Hipp. et Plat. Decret. ix. 1 (v. 721): *περὶ ὧν πλάνας καὶ διαπορίας καὶ τοῖς ἀγαθοῖς ἰατροῖς παρέχει.* Do. v. 6 (v. 473): *τὰ διαπορούμενα περὶ τῆς ἐκ πάθους ὁρμῆς.* Galen. De Crisibus, ii. 9 (ix. 681):

ἀλλ' ἐνίοτε μέχρι παμπόλλου χρόνου διαπορουμέν τε καὶ ἀμφιβάλλομεν. Galen. Nat. Facul. ii. 4 (ii. 93): τάχ' ἂν οὖν ἤδη τις θαυμάζοι καὶ διαπορήσειεν. Galen. Comp. Med. i. 1 (xii. 426): οὐκ ἂν οἶμαί τινα διαπορῆσαι. Galen. Comm. iii. 123, Praedic. i. (xvi. 776): ἐνίοτε δὲ διαπορῶν, ὥσπερ καὶ νῦν ἐπί τινος διακοπέντος ὀστοῦ τῆς κεφαλῆς κατὰ κρόταφον, &c. This compound is not so frequently used as the preceding ones by the medical writers.

26. "*Men's hearts failing them*" (ἀποψυχόντων ἀνθρώπων).

